ἢ ἀναβόλαιον γυναικῶν. Περσικάς.] εἶδος ὑποδήματος. Ὑφέλκωμαι] ἀντὶ τοῦ περιδεσμεύομαι. ὑποδέδεμαι. Εν καθαρῷ.] ἐν ἐρημίᾳ. Κροκώτιον] ὑποκο-

A ρισικῶς. εἴρηται δ' ἐν Βατράχοις ὅτι ἔνδυμά ἐστι Διονυσιακὸν ὁ κροκωτός. ἐνταῦθα δὲ δῆλον ὡς γυναικεῖον. ἀμπισχόμενος δέ, περιβεβλημένος.

Αν. Τὸ δ' ἱμάτιόν σου ποῦ 'στιν. Βλ. οὐκ ἔχω φράσαι.
Ζητῶν γὰρ αὐτ' οὐχ εὗρον ἐν τοῖς στρώμασιν.
Αν. Εἶτ' οὐδὲ τὴν γυναῖκ' ἐκέλευσάς σοι φράσαι;
Βλ. Μὰ τὸν Δί' οὐ γὰρ ἔνδον οὖσα τυγχάνει.
Ἀλλ' ἐκτετρύπηκε λαθοῦσά μ' ἔνδοθεν.
Ὃ καὶ δέδοικα μή τι δρᾷ νεώτερον.
Αν. Νὴ τὸν Ποσειδῶ, ταυτὰ τοίνυν ἄντικρυς
Ἐμοὶ πέπονθας. καὶ γὰρ ἣ ξύνειμ' ἐγὼ,
Φρούδη 'στ' ἔχουσα θοἰμάτιον ὃ 'γὼ 'φόρουν.
Κοὐ τοῦτο λυπεῖ μ', ἀλλὰ καὶ τὰς ἐμβάδας.
Οὔκουν λαβεῖν γ' αὐτὰς ἐδυνάμην οὐδαμοῦ.
Βλ. Μὰ τὸν Διόνυσον, οὐδ' ἐγὼ γὰρ τὰς ἐμὰς
Λακωνικάς. ἀλλ' ὡς ἔτυχον χεζητιῶν,
Ἐς τὼ κοθόρνω τὼ πόδ' ἐνθεὶς ἵεμαι.
Ἵνα μὴ 'γχέσαιμ' ἐς τὴν σισύραν. φανὴ γὰρ ἦν.
Αν. Τί δῆτ' ἂν εἴη; μῶν ἐπ' ἄριστον γυνὴ
Κέκληκεν αὐτὴν τῶν φίλων; Βλ. γνώμην γ' ἐμήν.
Αν. Οὔκουν πονηρά γ' ἐστὶν ὅτι κἄμ' εἰδέναι.
Ἀλλὰ σὺ μὲν ἱμονιάν τιν' ἀποπατεῖς. ἐμοὶ
Δ' ὥρα βαδίζειν ἐστὶν εἰς τὴν ἐκκλησίαν,
Ἤνπερ λάβω θοἰμάτιον ὅπερ ἦν μοι μόνον.
Βλ. Κἀγωγ' ἐπειδὰν ἀποπατήσω. νυνὶ δέ μου
Ἀχράς τις ἐγκλείσασ' ἔχει τὰ σιτία.
Αν. Μῶν ἣν Θρασύβουλος εἶπε τοῖς Λακωνικοῖς;
Βλ. Νὴ τὸν Διόνυσον ἐνέχεται γοῦν μοι σφόδρα.
Ἀτὰρ τί δράσω; καὶ γὰρ οὐδὲ τοῦτό με
Μόνον τὸ λυποῦν ἐστιν. ἀλλ' ὅταν φάγω,
Ὅποι βαδιεῖταί μοι τὸ λοιπὸν ἡ κόπρος.
Νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν,
Ὅστις ποτ' ἐσ' ἄνθρωπος Ἀχραδούσιος.
Τίς ἂν ἰατρόν μοι μετέλθοι καὶ τίνα;
Τίς τῶν καταπρώκτων δεινός ἐστι τὴν τέχνην;
Ἆρ' οἶδ' Ἀμύνων. ἀλλ' ἴσως ἀρνήσεται.
Ἀντισθένην τις καλεσάτω πάσῃ τέχνῃ.
Οὗτος γὰρ ἁνὴρ ἕνεκά γε στεναγμάτων
Οἶδε τί πρωκτὸς βούλεται χεζητιῶν.
Ὦ πότνι' Εἰλείθυια μή με περιίδῃς
Διαρραγέντα μηδὲ βεβαλανωμένον.
Ἵνα μὴ γένωμαι σκωραμὶς κωμῳδική.

*VIR. Illa autẽ vestis tui vbi est? BLE. non possum dicere,*
*Quærens enim ipsam non inueni in lectis.*
*VIR. Postea neque vxorem iussi te ducere.*
*BLE. Per Iouẽ, nõ enim intus existens cõtingit,*
B *Sed per foramen exiuit latens me intus.*
*Quod & timui, ne quid faciat nouius.*
*VIR. Per Neptunum, eadem igitur apertè*
*Mihi passus es: etenim qua cum habitabam ego,*
*Vana est habens pallium quod ego ferebam.*
*Et non hoc tristificat me, sed & calceamenta*
*Non capere ipsa potui nullo modo.*
*BLE. Per Dionysium, neque ego enim mea*
*Laconica, sed vt euenit cacaturiens*
C *In cothurnum pedes imponens mitto,*
*Vt nõ cacarem in vestem, splendida enim erat.*
VIR. *Quid igitur fuerit? nũquid ad cœnã mulier*
*Vocauit ipsã amicorũ?* BLE. *sententiam meam.*
*VIR. Non mala sunt, quantum & me scire.*
*Sed tu quidem chordam vnam cacas, mihi*
*Autem hora ire est in concilium,*
*Si capiam, quod erat mihi solum.*
D BLE. *Et ego postquã cacauero, nunc autem mei*
*Pyrum syluestre quoddam serans tenet cibos.*
VIR. *Nũquid quod Thrasybul⁹ dixit Laconicis?*
BLE. *Per Bacchũ, inest igitur mihi vehemẽter.*
*Sed quid faciam? etenim neque hoc me*
*Solum tristificans est, sed quando comedo,*
*Quò it mihi deinceps stercus?*
*Nunc quidem enim hic seruauit portam,*
*Quicunque vnquam est homo pyrificus.*
E *Quis igitur medicum mihi aduocabit, & quem?*
*Qui dilatantium culum peritus est arte?*
*Certè scio Amynon, sed fortè negabit,*
*Antisthenem aliquis vocato omni industria.*
*Hic enim vir gratia suspirationum*
*Scit, quid culus vult cacaturiens.*
*O veneranda Lucina, ne me spernas,*
F *Disruptum neque inclusum,*
*Vt non fiam catinus ebrialis.*

BISETVS. Ἐκτετρύπηκε] Ἡσύχιος. ἐκτρυπῆσαι, ἐξελθεῖν λεληθότως. ἐκτρυπᾶν δὲ κυρίως λέγεσθαι δοκεῖ περὶ μυῶν, οἵπερ ἐκ τῶν τρυπημάτων μάλιστα νυκτὸς λάθρα ἐξέρχεσθαι φιλοῦσι.

Σχόλια. Κοθόρνω.] κόθορνος εἶδος ὑποδήματος ἁρμόζον ἀμφοτέροις ποσί. Τὴν σισύραν] τὸ μαλλωτὸν στρῶμα. φανὴ δὲ, λαμπρὰ καθαρά. Γνώμην ἐμὴν] κατὰ τὴν ἐμὴν γνώμην καὶ οἴησιν. Ἱμονιάν] ἱμονιὰ καλεῖται τὸ σχοινίον ἐν ᾧ ἀρύονται τὸ ὕδατος. ταῦτα δὲ λέγει, ὡς αὐτοῦ μακρὰ ἀποπατοῦντος καὶ χέζοντος. Ἀχράς τις] στένωσιν τῇ γαστρὶ παρέχει ὁ λεγόμενος παρ' ἡμῖν ἄπιος. οὕτω γὰρ καὶ Πλάτων ἐν νόμοις ἀπίους εἴρηκεν. οὐ μόνον δὲ ἀλλὰ καὶ παρ' Ἀλέξιδι. καὶ ἐν ἀγρίοις Φερεκράτης. πρὶν ἀνακυκῆσαι τοὺς ἀπίους ἁρπαζέτω. ἐπέχει δὲ τὴν γαστέρα ἡ ἀ-

G χράς. Θρασύβουλος.] οὗτος ἀντιλέγειν μέλλων τοῖς Λακεδαιμονίοις πρέσβεσι περὶ σπονδῶν ἐληλυθόσιν, εἶτα δωροδοκήσας, ἀχράδας προσεποιήσατο βεβρωκέναι καὶ μὴ δύνασθαι λέγειν. Ἀλλ' ὅταν φάγω.] ἀγωνιῶ δὲ ἐὰν φάγω οὕτω τὴν γαστέρα στενούμενος εἰς ποῖον τόπον χωρήσει ἡ ἔνδον κόπρος. Βεβαλάνωκεν] ἐκλείδωσε. βάλανος γὰρ τὸ εἰς τὸν μοχλὸν σιδήριον ὃ καλοῦμεν μάγγανον. ταῦτα δ' εἴρηται καὶ ἐν ἄλλοις.

BISETVS. Ἀχραδούσιος] γέλωτος χάριν ὡς ἀνθρώπου ἀπό τινος δήμου ὄνομα τοῦτο ἔπλασε παρὰ τὴν ἀχράδα. ἀντὶ τοῦ ἡ ἀχράς. ἀχραδοῦς δὲ, δῆμος τῆς Ἀττικῆς. ὁ δημότης, ἀχραδούσιος. τοῦτο οὖν παίζων λέγει, ὡς καὶ κάτω. ἄνθρωπον ἀναφλύστιον καλεῖ, παρὰ τὸ ἀναφλᾶν.

Τῶν